## ΕΙΣ ΜΥΣΤΗΡΙΟΝ, κεφ. νβ.

### ΛΟΥΚΙΑΝΟΥ.

Ἀῤῥήτων ἐπέων γλώσσῃ σφρηγὶς ἐπικείσθω.
Κρείσσων γὰρ μύθων ἡ κτεάνων φυλακή.

## ΕΙΣ ΜΕΜΨΙΝ, κεφ. νγ.

### ΑΝΤΙΦΙΛΟΥ.

Ἡ γραῦς εὐβούλη, ὅτε οἱ καταθύμιον ἦν τι,
φοίβου τὸν περὶ ποδῶν μάντιν ἄειρε λίθον,
Χείρεσι πειράζουσα. καὶ ἦν βαρὺς ἡνίκα μή τι
Ἤθελεν· εἰ δ' ἐθέλοι, κουφότερος πετάλων.
Αὐτὴ δὲ πλήσσουσα τὸ οἱ φίλον. ἦν ποθ' ἁμάρτοι,
Φοίβῳ τὰς ἀνίσους χεῖρας ἐπεγράφετο.

## ΕΙΣ ΝΑΟΥΣ, κεφ. νδ.

### ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος,
Καὶ τὸν ἐπ' ἀλφειῷ Ζῆνα κατηυγασάμην,
Κάπων τ' αἰώρημα, καὶ ἠελίοιο κολοσσὸν,
Καὶ μέγαν αἰπεινᾶν πυραμίδων κάματον,
Μνᾶμά τε μαυσώλειο πελώριον· ἀλλ' ὅτ' ἐσεῖδον
Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον,
Κεῖνα μὲν ἠμαύρωτό τε, κὴν ἴδε νόσφιν ὀλύμπου
Ἅλιος, οὐδέν πω τοῖον ἐπαυγάσατο.

Τοῦ